Χ' αἱ μοῦσαι ποτὶ κύπριν· ἄρει τὰ στωμύλα ταῦτα·
Ἡμῖν δ' οὐ πέταται τοῦτο τὸ παιδάριον.

Ἀδήλου.

Ὁ ζεὺς πρὸς τὸν ἔρωτα, βέλη τὰ σὰ πάντ' ἀφελοῦμαι,
Χὠ πτανὸς, βρόντα, καὶ πάλι κύκνος ἔσῃ.

---

## ΕΙΣ ΑΡΕΤΗΝ, κεφ. η.

Ἀδήλου.

Ὦ στωϊκῶν μύθων εἰδήμονες, ὦ πανάριστα
Δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσιν,
Τὰν ἀρετὰν, ψυχᾶς ἀγαθὸν μόνον. ἅδε γὰρ ἀνδρῶν
Μούνα καὶ βίοτον ῥύσατο καὶ πόλιας.
Σαρκὸς δ' ἡδυπάθημα φίλον τέλος ἀνδράσιν ἄλλοις
Ἡ μία τῶν μνήμης ἤνυσε θυγατέρων.

Τίνας ἂν εἴποι λόγους ἥρα, ἀποθεωθέντος ἡρακλέους.

Σῆς ἀρετῆς ἱδρῶτι καλὴν ἀπέδωκεν ἀμοιβὴν
Σὸς γενέτης ἥρακλες· ἐπεὶ πόνος ἄσπετον εὖχος
Ἀνδράσιν οἶδεν ἄγειν μετ' ἀπείρονα κύκλον ἀέθλων.

Εἰς τὸ αὐτό.

Σοὶ χάριν ἐξετέλεσε πόνος καὶ ἀθέσφατος ἱδρὼς,
Χῶρον ἔχειν πολύολβον, ὃν οὐ πάρος ἔλλαχεν ἀνήρ.

## ΟΝΕΣΤΟΥ.

Ἀμβαίνων ἑλικῶνα μέγαν, κάμες. ἀλλ' ἐκορέσθης
Πηγασίδος κρήνης νεκταρέων λιβάδων.

Οὕτω

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id332550885/50 gefördert von der Deutschen Forschungsgemeinschaft DFG